## 296. Gleichnis von der Sintflut und Mahnung zur Wachsamkeit

Sicut in diebus Noe

The Parable of the Flood and Exhortation to Watchfulness

### Matth. 24, 37-44
24, 17-18; 25, 13

(nr. 293 24, 32-36 p. 405)

[37] ⸀Ὥσπερ ⸀γὰρ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται ⸆ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [38] ⸀ὡς γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ⸀[ἐκείναις] ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ⸀⸆γαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν, [39] καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας,

οὕτως ἔσται °[καὶ] ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

24, 17-18 (nr. 290, p. 401) [17] Ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, [18] καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ.

### Mark. 13, 35
13, 33

### Luk. 17, 26-36; 12, 39-40

17, 26-36 (nr. 235, p. 316)

[26] Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου· [27] ἤσθιον, ἔπινον, ἐγάμουν, ⸀ἐγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτὸν καὶ ⸀ἦλθεν ὁ⸃ κατακλυσμὸς καὶ ἀπώλεσεν ⸀πάντας. [28] ὁμοίως ⸀καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· [29] ᾗ δὲ ἡμέρᾳ ἐξῆλθεν Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξεν ⸂πῦρ καὶ θεῖον⸃ ἀπ' οὐρανοῦ καὶ ἀπώλεσεν ⸀πάντας. [30] ⸂κατὰ τὰ αὐτὰ⸃ ἔσται ⸂ᾗ ἡμέρα ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται⸃. [31] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά, καὶ ὁ ἐν ⸆ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. [32] μνημονεύετε τῆς γυναικὸς Λώτ. [33] ὃς ⸂ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ περιποιήσασθαι⸃ ἀπολέσει αὐτήν, ⸂ὃς δ'⸃ ἂν ⸀ἀπολέσῃ ζῳογονήσει αὐτήν. [34] λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης °μιᾶς, °¹ὁ εἷς ⸀παραλημφθήσεται καὶ ὁ ἕτερος ⸀ἀφεθήσεται· [35] °ἔσονται δύο ἀλήθουσαι ἐπὶ τὸ αὐτό, °ἡ μία παραλημφθήσεται ⸂ἡ δὲ ἑτέρα ἀφεθήσεται.⸃

⸆[36]

### Joh.

---

Matth.: 37 ⸀δε ℵ L W Θ $f^{1.13}$ 33. 892. 1006. 1342. 1506 𝔐 lat $sy^{p.h}$ ¦ – 565 $bo^{ms}$ ¦ txt B D 067 …

---

### [Matth. 24, 37-44]

[40] τότε ⸂δύο ἔσονται⸃ ἐν τῷ ἀγρῷ, εἷς παραλαμβάνεται καὶ εἷς ἀφίεται· [41] δύο ἀλήθουσαι ἐν τῷ ⸀μύλῳ, μία παραλαμβάνεται καὶ μία ἀφίεται ⸆. [42] Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ κύριος ὑμῶν ἔρχεται.

[43] Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν ⸀διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ. [44] διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ οὐ δοκεῖτε ὥρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

25, 13 (nr. 298, p. 412)

[13] Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν.

### Mark.

13, 35 (nr. 294, p. 407)

[35] Γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, °ἢ ὀψὲ ἢ ⸀μεσονύκτιον ἢ ⸀ἀλεκτοροφωνίας ἢ πρωΐ.

13, 33 (nr. 294, p. 407)

[33] Βλέπετε, ἀγρυπνεῖτε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν.

### [Luk. 17, 26-36]

12, 39-40 (nr. 203, p. 288)

[39] Τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ⸂οὐκ ἂν⸃ ἀφῆκεν διορυχθῆναι τὸν οἶκον αὐτοῦ. [40] ⸋καὶ ὑμεῖς ⸆ γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.⸌

### Joh.